ρος, θερμὸς ἐραστὴς τῆς ἐκκλησιαστικῆς ἀκολουθίας καὶ τάξεως· ἐσπούδαζε τὰς θείας Γραφάς, καὶ τὰ τῶν ἁγίων Πατέρων τῆς ἐκκλησίας συγγράμματα, ἐξ ὧν ἀρυόμενος φιλοπόνως ψυχωφελεῖς διδασκαλίας, ἐδίδασκε μετὰ πολλοῦ ζήλου καὶ ἀγάπης τὸν χριστώνυμον λαόν.

Ἀθανάσιος Κρής, πατριάρχης Κωνσταντινουπόλεως, ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς καὶ τῆς ἀραβικῆς γλώσσης, καὶ τῆς ἱερᾶς γραφῆς ἔμπειρος, ἱκανὸς κατανοεῖν τῶν τε λογογράφων καὶ φιλοσόφων τὰ συγγράμματα· ἐσχόλαζε περὶ τὴν ἀνάγνωσιν καὶ μελέτην τῆς ἱερᾶς Γραφῆς, καὶ ἐκήρυττε τὸν λόγον τοῦ θεοῦ μετὰ πολλοῦ ζήλου, καὶ χριστιανικῆς ἀγάπης.

Ἀλέξανδρος Μαυροκορδάτος Σκαρλάτος, τῶν ἐν Κωνσταντινουπόλει εὐγενῶν προέχων προγόνων λαμπρότητι, καὶ πολυτελεστάτῳ σοφίας κόσμῳ, τῇ τε παρὰ βασιλεῖ ἀξίᾳ τοῦ γενικοῦ ἑρμηνέως καὶ τοῦ ἐπὶ τῶν ἀπορρήτων, ἀνὴρ σοφώτατος, πολιτικώτατος, ἐς τὰ ἐνδόμυχα τῆς τε παλαιᾶς καὶ νέας φιλοσοφίας χωρήσας, καὶ ἐν παντὶ παιδείας εἴδει μέχρι θαύματος ἔξοχος καὶ περικλεής· καὶ πολλῶν ἀγαθῶν πρόξενος τῷ γένει τῶν Ἑλλήνων γενόμενος, συστησάμενος ἐν Κωνσταντινουπόλει καὶ φροντιστήριον, ἵνα μὴ τῇ προόδῳ τοῦ χρόνου ἡ ἑλληνικὴ παιδεία ἐξίτηλος γένηται, καὶ ἁδραῖς δαπάναις τοὺς φιλομαθεῖς τῶν νέων καταρτίσας ἐς τὴν περὶ τὰς ἐπιστήμας καὶ πᾶσαν ἰδέαν λόγου φιλοπονίαν. Συνεγράψατο πολλὰ καὶ παντοδαπά, ἐξ ὧν τὰ μὲν τύποις ἐκδεδομένα.

« Πνευματικὸν ὄργανον περὶ τῆς κυκλοφορίας τοῦ αἵματος, λατινιστί, πολύτιμον βιβλιδάριον καὶ πάνυ δυσεύρετον, καίτοι πολλάκις ἐν Ἰταλίᾳ, Βελγίῳ, καὶ ἐν Γερμανίᾳ τυπωθέν.

» Ἱερὰ ἱστορία, ἑλληνιστὶ ἐν Βουκουρεστίῳ τύποις ἐκδοθεῖσα κατὰ τὸ ͵αψις΄, ἧς ἐν ἀρχῇ καὶ ὁ ἐπιτάφιος λόγος ὁ συντεθεὶς παρὰ τοῦ λογιωτάτου κὺρ Ἰακώβου τετύπωται.

Τὰ δὲ τύποις οὔπω ἐκδοθέντα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ